Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0001-0

~~Ed. 2976~~

1) Eber, P.

nebst 2) - 15)

El 236 (3) = HF

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0002-6

# PÆAN DE JESV CHRI- STO VERO DEO ET HOMINE, REDEMPTORE GENERIS HVMANI.

THEODOSII FABRICII
*Northusani.*



VVITEBERGAE,
Hæredes Iohannis Cratonis excude-
bant, Anno 1579.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0003-1

Theodosius Fabricius

Lage B verheftet

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0004-7

# NOBILISSIMIS ET GENEROSIS IVVENIBVS VIRTVTVM SPLENdore, pietate & eruditione insigni ornatissimis D. IOANNI ET D. BVSSONI CLAMERO ab Aluensleben, Dn. IOACHIMI in Erxleben filijs, fratribus: D. GEBHARDO à Meindorff, Dn. ANDREAE in Vmmendorff, filio: & D. GEBHARDO à Kneitling Dn. IOANNIS praefecti in Guntersberga filio: Dominis suis studiosé colendis.

*NObilitatis honos virtuti innitur omnis,*
*Hæc hominem æterna viuere laude facit:*
*Hæc magnis opibus potior post fata superstes*
*In cinerem lapsis omnibus vna viget.*
*Hinc, veluti gemmis est gratia maior in auro,*
*Nobilitas cultu splendidiore nitet.*
*Talia dum mentem subeunt prælustria vestri*
*Admiror generis dona piæq; domus.*
*Quis non virtutem, Iuuenes, vestram æquet olympo?*
*Ingens Pieridum nobiliumq; decus.*



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0005-3

*Quos pietas patrum & propriæ virtutis honores*
*Nobilitant celebri stirpe locoq́ satos,*
*Bacchi delicias alij sectantur & arma,*
*Innumeri Paphiæ mollia castra Deæ.*
*Vos docto Aonidum docti succeditis antro,*
*Cærulus Eois quod rigat Albis aquis,*
*Pegasei latices fontis gustare salubres,*
*Atq; sacræ Themidis lustra habitare Deæ.*
*Sponte pios sequitur conatus gratia magni*
*Numinis, est pietas vnica grata Deo.*
*Hic flatu aspiret sacrato insignibus ausis,*
*Insita vis animo quæ generosa ciet.*
*Prona Dei studia in laudes vt vestra ferantur,*
*Et maior fiat nobilitatis honos.*
*Accipite hæc animis æquis mea munera, fausti*
*Quæ dedit auspicij nostra Thaleia loco,*
*Laude ferens Christi cunabula, dona salutis*
*Vnde almæ pendent iam reparata pijs,*
*Infantum linguis celebrari digna, pioq́*
*Non nisi pastorum carmine digna cani.*
*Et Christi colite exemplo præsepe parentum,*
*Quos mens illustres relligiosa facit.*
*Sic sic æquabit vestrum radiantia nomen*
*Sidera, sic vester non morietur honos.*

Vestrarum Generos.
studiosiss.
Theodosius Fabricius.

ΠΑΙΑΝ

# ΠΑΙΑΝ

## ΕἸΣ ΙΗΣΟΥ͂Ν ΧΡΙΣΤῸΝ ΘΕΑΝΘΡΩ-πον σωτῆρα παντὸς κόσμου.

Υἱὲ παναρχιγένεθλε βροτοσέργοιο τοκῆος.
Σεῦ γενεὴν κούρης διὰ γαστρὸς ἀπειρογάμοιο.
Ἀνδράσι τυφλονόοισι βιαρκὲς ὄνειαρ, ἀείσω.
τιμὴ δ᾽ ὑψιθρόνοιο θεοῦ φερεφεγγὲς ἄημα,
οὗ ἀπονόσφι βροτοῖς ξύμπαντα μάταια πέλονται.
Δεῦρ᾽ ἴθι, καὶ ἡμετέροιο θεόφθεγκτον μέλος ὕμνου
Ἰθύνων, ὁσίοιο δίδου μύθοιο πορείας
ἀπορρήτου κελαδεῖν μέγα θέσφατον ἑρμαίνοντι.
Ἔννεπε μοι φάτνης μυστήρια χριστοδόχοιο
Θέσκελα, ὑψιπεράαντα, θεήλατα, αἰθερόδεικτα,
Ἀκερδνόων κεκαλυμμένα πάντων οὔασιν ἀνδρῶν,
Πανσόφων οἳ κραδίῃ ἀρετῆσί τε ποικιλοκόμποις
ἄλλων ἀνθρώπων παιδεύτορες εὐχετόωνται:
μηλοβοτὴρ ὅσα εὐπιθανὸς θεοτερπέϊ πειθοῖ
ἠδὲ χορὸς γαίην ἀθεόφρονα ναιεταόντων
Ἀνδρῶν προσπτύσσει. Τὰ γὰρ ἐκ θεοῦ ἔργα περίπαντα
Μωραίνειν δοκέουσι χαμαιφρονέουσι βροτοῖσι.
τοὔνεκα μοι σὰρξ λυσιθρόου μνήσαιο σιωπῆς
βάλλουσ᾽ ὀφθαλμοὺς μόνον ἐς θεοδέγμονα κοίτην
ἡ μακαρισμοδότην φθεραμιώτερα κοῦρον ἀέξει,
Κλείσω ἄνακτα θεοῖο δικαιωσίμβροτον υἱὸν,
ὃς μεγάλοιο, ὁμοῦ πατρὸς ἁγνοπόλοιο τ᾽ ἀήτεω
Ναιετάων πολυδειράδα ἐννεάκυκλον ὄλυμπον
κοιρανέει ἀπάνευθε τέλους ἀπάνευθε καὶ ἀρχῆς
ἀθάνατος θεὸς ὢν ὑπὲρ αἴης εὐρυοδείης:
καὶ μητρὸς κοῦρον βροτέης, φίλον υἱὸν Ἰωσήφ,

αὐτόφυτον θεὸν ὄντα, καὶ ἔνσαρκον γεγαῶτα.
κῦδος ἰὼ θνητῶν σωτῆρ ὁλόδωρον ἐτέχθη.

Θεῖον ἀνῆγε φάος ῥοδοδάκτυλος ἠριγένεια
τοῦ Λόγος ἀθανάτοιο θεοῦ μεροπηϊὸς υἱὸς
ἔλλιπεν ἀστροχίτωνος ἀτέρμονα θῶκον ὀλύμπου,
Ἀνθρώπων τε βιοπλανέων βροτοειδέα μορφὴν
ἑσσάμενος βροτέην φύσιν εἰς θείης ἕνα δεσμὸν
ἐξ ὑποστάσεως ὑπεδέξατο, οὐκ ἀναμίγδην,
ἐν λαγόνεσσι κόρης θεονύμφου, νόσφιν ἁπάσης
ἀμπλακίης βαρυαχθέος, ἧς μόνος ἐστὶν ἄμοιρος.
Δεῦτε προσπαντες ὁμῶς βεβαρημένοι ἀμπλακίῃσι,
τῶδ', ἠοῖ θεὸς ἔνσαρκος παρὰ μητρὸς ἐτέχθη
ἀνδρομέης, παῖς ὢν παμμείλιχος ἡδυπάρηος,
προσηγλόων τὸ ξύμπαν ἀλιτρονόων γένος ἀνδρῶν.
ἐν τούτῳ ζωὴ ὑμῖν καὶ ἀκήρατος ὄλβος
κεῖται, τὸν πειθοῦς προσαπτύσσετε μοῦνον ἀγοστῷ.

Νῦν γυναικοφύτου κλυτὸν ἵκετο σπέρμα λοχείης,
Σπέρμα τὸ πρωτογόνοισι θεὸς θνητοῖσιν ὑπέστη
ἄνδρα δρακοντολέτην ἔμμεναι θείῳ ἐνὶ κήπῳ.
μεσσίας πέσε νῦν ἀνυμφεύτου ἀπὸ κόλπου
μητέρος, ὃν τὸ πάρος πρωτοσπόρος εὔθεος Ἀβραὰμ
κόσμου ἀοσσητῆρ' ἰδέειν ἠγάλλετο θυμῷ.
ὅντε σοφὼ ὑψίσοφοί τε θεοπνεύστοισι προφῆται
ἦσε χέλυς λιγυρὴ κιθαροκρέκτοιο Δαβίδος.
ὃν ποτε ἀτρεκέως προὐδείκνυε θεσπιδὶ φωνῇ
Ἡσαΐας θεοΐδρις, ἰδ' ἄλλοι οὐρανομύσται.
κῦδος ἰὼ θνητῶν σωτῆρ ὁλόδωρον ἐτέχθη.

Κοίρανος οὐλύμπου πυροεργέος ἀστροδεδάλτου
Σάρκα χαμαιριφέος, θεοσιώωρ, ἀνδρὸς ἀέξων
Φῶς μέγα ἐν μερόπεσσιν ἀφωτίστοισιν ὁδεύει,
μυρία αἰνομόροισι φέρων κλυτὰ δῶρα βροτοῖσι,
Φρεσσὶν ὅσα θνητοῖς σοφίης μέγα κέντρον ἀείρων

ἀγνο-

ἀγνοεῖ, ὅσα οὔποτε τις βροτὸς ὠσὶν ἄφυξεν.
οὐκ ἔτι κεντροφόρου δεινὸς θεσμοῖο κεραυνός
χαλκεόφωνος, ἐριβρεμέτης, μεγασμερδαλάλητος.
συντρίβει λωβητῆρας νεμεσήμονι ῥόπτρῳ.
οὐ βροτοδηλήτωρ πολυαρχέκακός τε τύραννος
τρίστομος ἠδὲ κύων ἀΐδαο τε αἰνὰ θύρετρα
ἐκπέρσουσι σεβαστόθεον θεοπειθέα λαόν.
κῦδος ἰὼ θνητῶν μειλιξιάλιτρον ἐτέχθη.
ἕρκος ἀλιζώστοιο κεκρυμμένον ἀχλύσι γαίης
ζωοδότῃ βασιλῆϊ πύλας θῆς εὐρυαγυίας
ξείνια μαστεύοντι κατὰ χθόνα βωτιάνειραν.
ΗΡΩΔΗ κακοεργὲ τί σοί τρόμος ἦτορ ἰχάνει;
παιδοβόροις τί δὲ χερσὶ δολοπλοκίοισι κοτήεις
φάσγανον ἐκ κολεοῦ φονόχαρτον ὑπέρβιον ἕλκεις
παιδίσκον δεδιὼς εἰρηνοφόρον, βιοδώτην;
οὐκ ἄρα τοι ὅγ᾽ ἄναξ χαριτώνυμος ὑψόθεν ἦλθε
ἀγλαὰ τηλεφανῆ σέο τείχη ἐξαλαπάξαι,
μηδ᾽ ἐν τοῖς μεγάρων δαμασίφρονα πλοῦτον ἀφύξαι.
μᾶλλον ὅ τοι βασιλεύς ὑψίζυγος αἰθέρος ἀρχός
ἀθάνατός περ ἐὼν χαίρει λιποφεγγέϊ σταθμῷ,
ἐγκλίνων μεγαλαμψιφανὲς χόρτοισι κάρηνον.
κοσμολέτειρ τί δράκον φρονέεις κακὰ παρθενοκούρῳ
πυρσὸν ἐρευγόμενος φθισήνορος ἐξ ἀΐδαο;
κῦδος ἰὼ θνητῶν σωτηριόδωρον ἐτέχθη.
τυφλονόων φύτλη ἀνδρῶν ἀμενηνοβιώτων
πῆ φεύγεις; τεὸν οὐ δέχεαι ῥυστῆρα γαληνόν;
ὃς τόσα σαρκωθεὶς θεὸς ὢν τοι δῶρα κομίζει
δῶρα τὰ αἰθέρος ἠδὲ καὶ ἄης εἰσὶν ἀρείω:
ἡμέων αὐτοκασίγνητος διὰ σαρκὸς ὑπάρχει
ἀνδρομέης, τὴν εὖ φύσει θεότητος ἕνωσεν
ἀῤῥήκτῳ στεναρῷ δεσμῷ ἄτερ ἀμπλακιάων.
τὴν ζωὴν ἀνάγων τόδ᾽ ἱκάνει καὶ μακαρισμὸν,

ὄν.

ὅν ποτ᾽ ἀφεῖλε δράκων παμπρωτογόνοισι τοκεῦσι
κλεψινόοις ἐπέεσσι πιπιθοῦσιν ἄφρονι θυμῷ
Μούνη ἐκδέχεται Βηθλεὲμ βασιλῆα νεογνόν
ἐν πολίεσσιν Ἰουδαίης μάλα πολλὸν ἀρίστη
μητέρι σὺν κεδνῇ βροτῷ οὔποτε ἀνδρὶ μιγείσῃ.
πᾶσα πόλις μὲν πλῆτο πολυσπερέεσσ᾽ ἀνθρώποις
Αὐγούστου βασιλῆος ἀγειρομένοισιν ἐφετμῇ
οὐνόματ᾽ ἐξαυδᾶν, κενεὸς δ᾽ ἐν ξεινοδοκείῳ
οὐδέ γε εἷς μυχὸς ἔσκε παρεκλιποφεγγέος αὐλῆς,
ἡ πέλεν ἀστρομέδοντος ἀενναέτηρος ὀλύμπου,
καὶ κοσμοκράτορος περιμήκετον ἕρκος ἄνακτος,
φάτνη γῆα θεοῦ θάλπει παμαναρχολοχεύτου,
ὃν δέκα μυριάδες πάσης βροτοχανδέος αἴης
κόσμου ξύμπαντος δυνατώτατον οὐ φορέεσθαι.
αἰὲν ἐνοικήσαις ἀστρόμματον ἕδραν ὀλύμπου
ἀκεράων ὀρφναῖα βοῶν ποιμνήϊα ναίει.
ὅς χ᾽ ὑπὸ ποσσὶν ἔχει μεγάλου οἰκία κόσμου,
μηδὲν ἀπείρονι ἐν γαίῃ ἐπίδημά τι εὑρεῖ,
Ἄλγεα πολλὰ παθὼν φιλαμαρτάδος εἵνεκα λαοῦ.
Σώματα ὃς παλάμηφι τρέφει μόνος ὀλβοδοτείρῃ
Συμπάντων, ὅσ᾽ αἶαν ἐπιπνείει τε καὶ ἕρπει,
Παρθενικῆς ἀγάμοιο ῥόῳ γλυκεροῖο γάλακτος
κείμενος ἐν κόλποισι θεοπρεπέεσσι κορεῖται.
οὔ τι σιγαλόεν περὶ σώματος εἷμα θεόσπερ
οὐδὲ καλὴν ἐσθῆτα διάβροχον αἵματι κόχλου
ἕσσατο, ἀλλὰ πόῃ κεκαλυμμένος ἐν χθονὶ κεῖται.
ἱεροτόκων λάζουσι καλίτριχα πώεα μήλων
ἀμφὶ κάπην θεοπαιδοδόχον, καὶ ποιμένες ἁγνοὶ
τέρπονται φρένας ἀνθρώπων ῥύστην ὁρόωντες.
κῦδος ἰὼ θνητῶν σωτηρόδωρον ἐτέχθη.

Οὐρανόφοιτος ὅλος στρατὸς αἰθέρος ἀστροπορεύτου
ἐκθρώσκει ἑο γηθοσύνην μερόπεσσ᾽ ἀποφῆναι.
θάμβος ἔχει γὰρ ὁρῶντα λόγον μερόπεσσι γενέσθαι

ἴκελον

ἴκελον ὠκυμόροισι φυὴν καὶ σάρκα καὶ εἶδος,
ὅς πανάναρχον ἔην τέκος αὐτοφύτοιο τοκῆος
καὶ πρὶν ξύμπαντος κόσμοιο θέμεθλα φανῆναι.
πάντες ὑπὸ σκιερῇ νυκτὸς μελαναυγέος ὄρφνῃ
ἰσοθεοκρατέες πτεροείμονες ἀγγελιῶται
εἰς γαῖαν μεγαλερκέα ἐκ βηλοῖο θοροῦσι
Πολλὰ σὺν ἀνθρώποισι γεγηθότες εἵνεκα Χριστοῦ
Σαρκωθέντος ἀμερσικάκου θεοπαρθενόπαιδος,
καὶ σφὶν ἐπαγγέλλουσι θεοῦ χάριν ἠδὲ καὶ ὄλβον
ἀφθάρτου βιότοιο, κακῶν τ' ἄμπαυσιν ἁπάντων,
ὀμφὴν ἐκ στομάτων παμμειλιχόγηρυν ἱεῖσαι:
ὑψιμέδοντι κλέος πολυήρατον ἔστω ἄνακτι,
εἰρήνη δ' ἀνὰ γῆν φερέζωος ἀκήρατος ἔλθοι.
κῦδος ἰὼ θνητῶν τὸ ἀλεξιόλεθρον ἐτέχθη.

Δυσμοίρων γένος ἀνθρώπων δεδμημένον ὕπνῳ
ῥέγχει ἀνακλινθὲν, χάριτος τῆς οὔτι μεμηλὸς,
βουπελάτης δὲ πολύτλητος συνεγρώτατος ἀνδρῶν
Νωθρὸν ἀπὸ βλεφάροιο βαλὼν ζοφοειδέος ὕπνου
Ἀγγελίην νεπόδων θεοφάντορα πτηνοπεδίλων
πιστοῖς ἐνδομύχοισιν ὑπὸ φρεσὶ μερμηρίζει.
οὗτος, Ἰουδαίων ἐπεὶ οὐδεὶς ἐν θεολάων
τὴν δ' ἀγαθοφροσύνην ἀλέγει θεοῦ, ὡς θέμις ἦεν,
σε θνητοῖς ἐρυσῆρα σαόφρονα μοῦνος ἀναγνοὺς
Προσπροκυλινδόμενος σοῦ γούνατα, σῶτερ, ἱκάνει.
οὔ τι τιμήεντα καὶ ἀγλαὰ δῶρα κομίζει
πτωχὸς ἐών, τὰ γὰρ οὔποτε σοι φίλε Χριστὲ μεμήλει.
ἀλλ' ὑπὸ τῆς πραπίδος νωμῶν θεοδέγμονα πίστιν
σεῖο κέαρ δῖον γλυκυμείλιχά τ' ὄμματα θέλγει.
Χρύσεον ἡ πίστις γὰρ ἀπάργανον, ᾧ ἐν ἐλυσθεὶς
κεῖται ἄναξ νεότικτος ἀλεξιόλεθρος Ἰησοῦς.
κῦδος ἰὼ θνητῶν σωτηρελόδωρον ἐτέχθη.

Ἀστεροπέπλον ἄγων φάος ἀστὴρ μαρμαρυγῆσιν

Δείκνυσιν ἰθυβόλοισιν ὑπ' αὐγῆς τηλόθ' ἐούσης
ῥύσην ἀνθρώπων ἀναμὶξ συσκιόωσα πάντων
ἀλλοθρόοις ἄνδρεσσι, τοὶ ἄλλων ἔσχατοι ἀνδρῶν
δεινὸν ἀγαλλόμενοι ὀλεσικόρος ὄγκον ὀμίχλης
πάντα βίον διάγουσιν ἄνευ θεοφάεος αἴγλης.
Ἐστὶ μάγων σοφὸν ἔθνος ὑπ' ἠοῦς ἐσχατομοίρου,
τοί μέγα δείξιθεον θαῦμ' οὐλύμπου θεόωντες
φάτνην δ' ἀργαλέης πειρώμενοι ἦλθον ὁδοῖο
παρθενόπαιδι θεῷ βασιλήϊα δῶρα φορεῦντες,
πρηνέες ἠδὲ χαμαὶ προβλημένοι ἐν κονίῃσι
πιστῶς ἀρραγέος κεκορυθμένοι ἐν φρεσὶν ἀλκῇ
θνητοσσοὸν βασιλῆα νεήτοκον ὀλβιοδώτην
λεπτοῖσιν φαρέεσσι καλυψάμενον χρόα δῖον
κηρόθι τιμήσαντο θεογνώστοισι τυπέντες
ἀκτίνεσσι, τὶ οὐρανίης προρέουσιν ἀπ' αὐγῆς.
πιστῇ χριστοδόχῳ κοσμούμενον ἦτορ ἀνώγει
σφείων τιμῆεντ' ὀπλήελα δοῦναι ἄνακτι.
πίστις γὰρ τελέθει θεαρέστων αἴτιος ἔργων.
ἔνθεν ἀεὶ τὰ χρηστὰ, βαθυῤῥόου ὡς ἀπὸ κρήνης
σωρηδὸν προμολοῦσιν, ὀφέλσιμα πᾶσι βροτοῖσι.
χριστὸς δ' οὐδὲν ἀποπτύσας βασιληΐδα τιμὴν
ἀλλοδαπῶν ἀνδρῶν φιλομειδέα φάεα καλοῖς
οἷσιν ὑπ' ὀφρύσι πρὸς πίστιν θεοδέγμονα βάλλει,
ἣν στέργει μάλιστα τε καὶ οὐρανοῦ ἀρχὶς ἀείρει
ἠΰτε ὀρθροφανὴς ὁ ἑωσφόρος ἀστράπτουσιν.
ἣ αὕτη χριστὸν προσπτύσσει οἷα τε νύμφη
Νύμφιον ἀμφιχυθεῖσα περίπλοκον ἡδέϊ δεσμῷ·
εἰ καὶ ἑλισμάραγοι θαμὶ ἐπιπέρχωσιν ἄελλαι
πανταχόθεν ταραχῶν καὶ δυστυχιῶν δακεθύμων.
οὐ ῥα σεβασσίθεοι ἄνδρες βασιλῆος ἐφετμὴν
ἡρώδεω παρβεῦσι δολοῤῥαφῆ ὡς ἔ νέεσθαι,
ἀλλὰ θεοσκήρῳ γέρα τιμήεντα φέρουσι

ἀτρε-

ἀτρεμέως ἅτε σφῶν ῥύστῃ καὶ δίῳ ἄνακτι.
δεῦτε βροτοὶ θεοφεγγέα νῦν ποτὶ σταθμὸν ἅπαντες
ἀμπλακίαις στυγερῆς μεμιασμένον ἦτορ ἔχοντες.
τυτθὸς ὁ μειλιχοκάρδιος ἐνθεόσαρκος ἰησοῦς
ἀλλοίοισι βροτοῖς ἐλεήμονα θυμὸν ἀέξει,
καί σφέας ἐν πυκινῇ θανάτου πλαγχθέντας ὁμίχλῃ
ζωῆς οὐρανίης ποιεῖ φίλον ἔρνος ἀκούειν.
κῦδος ἰὼ θνητῶν σωτηριόδωρον ἐτέχθη.
Ὑψίσοφοι δὲ ὑπερφίαλοι πολυΐστορες ἄνδρες
βένθεα θελξινόου σοφίης πολύτερπνα δαέντες
κοῦρον ἐπισκώπτουσιν ὑπὸ φρεσὶ κερδαλέῃσι.
πάντα παλαιγενέων μαντεύματα αἰθερεώνων
χριστοῦ νῦν παρεόντος ἀκὴν ἐγένοντο σιωπῇ:
οὐκ ἔτι θεσπιέπεια κόρη φρεσὶ θέσφατα δινεῖ,
ἀλλά μιν ἀμφασίη ἐπέων λάβε ποικιλοβούλων.
κωφὸς ἄναυδος ἰδὲ γλῶσσαν πεπεδημένος ἀνὴρ
ζαχαρίας ζαθέης ἐπιειμένος ἄθματι πνοιῆς
ἡδυθρόοισι θεοῦ μυστήρια μέλπει ἀοιδαῖς.
οὐδὲ γέρων θεοπαιδοφόρος παρὰ γήραος οὐδῷ
ᾠδάων λήγει, ὑποκάρδιον ἰχὼ ἰωῆς
φωτοδοτῆρος ἔχων, θεόπαιδα βροτοσσόον ὤμοις
γηραλέοισιν ἀερτάζων ἐπιδείκνυσι κόσμῳ,
ὕστατον ἡδυμελίφθογγον κύκνειον ἀείδων.
ἠϋσεβαστιθέων χορὸς ἁγνὸς θηλυτεράων
ἔρνος ἀειγενέταο θεοῦ νεότικτον ἰησοῦν
ἀγκαῖς ἔχει, τ' ἐν χερσὶ θεοστέργοισι θαλιώων
τὴν κεφαλὴν κύσσας γλυκυμείλιχα χείλεα θλίβει.
Ζαχαρίαο Ἐλισαβέτη δάμαρ ἱροπόνοιο
πρόσπολον ἀρτιτόκου μεγάλον κήρυκα θεοῖο
γαστέρι ἔχουσα θεοῦ κούρῳ φρεσὶ χριστοφίλοισι
μητέρι σὺν θεοπαιδοτόκῳ κρέκει ἔνθεον ὕμνον.
Δῖος Ἰωάννης ἔτι ἔμβρυον ἔνδοθι θρώσκει

χριστοῦ νῦν παρεόντος ἰδεῖν φίλον ὄμμα ποθήσας.
τῶν μετὰ χαὐς θυγάτηρ ζαθεόφρονος Ἄννα φανουὴλ
Ὀγδηκοστέτης χήρη μυστήρια φάτνης
κηρύσσει λαοῖσιν ἐν ἀργυροφεγγέϊ νηῷ
κύρῳ κοσμοσόῳ ἱμειρομένοισι πιθέσθαι.
κῦδος ἰὼ θνητῶν σωτηρόδωρον ἐτέχθη.
Τίς σε πανσθενέταο θεοῦ μεροπηΐδι μορφῇ
κεῖτ' ἐντὸς σταθμοῖο πανυστάμενος παρὰ μήλων.
ἡ φάτνη ζοφόεσσα καὶ ἰολόχρωτος ἰαθμὸς
Σύμβολα ἀθανάτοιο φαάντατα ἐστὶν ἄνακτος.
Ἀγνοέει ῥυστῆρα σαόφρονα κόσμος ἀφεγγής.
Ποιμένων ἀγροδίαιτος ἰδ' ἀλλοθρόων στόλος ἀνδρῶν
σύν τε γυναιξὶ θεοσεβέεσσι γέροντες ἀγαυοὶ
χριστὸν κλείουσιν κελαδήμασιν ἡδυθρόοισι
κῦδος ἰὼ θνητῶν σωτηρόδωρον ἐτέχθη.
μισόθεος χαλεποῖς κοσμούμενος ἄλγεσι δαίμων
τούτῳ μὲν κακὰ μυρία παρθενοπαιδὶ φυτεύει.
ἀγριόθυμος ἄναξ φονέει νεμεσήμονι χαλκῷ
ἀρσενικῶν βρεφέων ἐπιμαστιδίων ὅλον αἶης
ἔθνος ἰουδαίης ἑνὸς ἄρσενος εἵνεκα χριστοῦ.
κεῖνος δὴ παίδων χορὸς αἵματι πεπληώτων
γίνεται ἀρτιγόνῳ ἐπιβώμιον ἱρὸν ἄνακτι.
αὐτὸς ὑπερζαθέοιο θεοῦ σωσίμβροτος υἱὸς
πάσχει ἄλγεα πολλὰ λιπαυγέος ἐντὸς ἰαθμοῦ
σὺν θνητοῖσι γονεῦσιν ὑπαὶ κονίῃσι πανυσθεὶς.
πάντεσσιν τ' ἐπίχαρμα ἐὼν καὶ ἄθυρμα βροτοῖσι
Σταυρῷ γομφωθεὶς μάλ' ἀπηνέα πότμον ἐπισπεῖ.
Εἵνεκ' ἀτασθαλίης χθονίων ὀλεσήνορος ἀνδρῶν.
Πήματα θεογόνοις τοιαῦτα ἢ πάντα τελάσσαι
ἐν βιότητι ὁμῶς πεπρωμένον ἐστὶν ἅπασι.
χρὴ χριστὸν φιλέοντα φιλεῖν τὰ παθήματα χριστοῦ.
παντοίης ὀδύνῃσι παρειμένος ἢ ἐν μόγοισι

ζωῆς

ζωῆς εἰς τὸ θέατρον ἐλθὼν δόμον ἀφθάρτοιο.
κείνη ὁδὸς γὰρ ἔφυ πρὸς ἀτέρμονα αἰθέρος αὐλὴν,
ταύτῃ καὶ πατέρων κλυτὸς ἐνθέολαος ὅμιλος
εἰς βίον αἰὲν ἐόντα θεόσυτον ἴχνος ἔπηξεν.

## ODA
# DE BENEFICIIS FILII DEI OMNIBUS.

הָאֹמֶר בָּשָׂר הוּא׃

Χριστῷ γόνῳ Θεοῖο
Χριστῷ γόνῳ τε κούρης
ὕμνον κρέκειν αἰῶνα
ἐν στήθεσιν φίλον κῆρ,
ὃς σάρκα δῦσας ἀνθρώπων
ἁμαρτάδος περὶ πάσης
ἐπωμαδὸν βάρημα
ἀφεγλέων ἄειρεν
πάντων βροτῶν ὅσους περ
ζάδωρος αἶα βόσκει.
ὃς παῖ μόγος κακοῖο
πέρσεν θανὼν ὀλέθρου,
κρατεροῖς τ' ὄφεως κάρηνον
ὀλοὸν πόδεσσι τρίψε,
διέλλυσεν τε πύργους
ἄδου πυλῶν ἐρεμνούς.
Χριστῷ χάρις κλέος τε.
Λόγος μέγας πανοῦργος
σὺν πατρὶ καὶ ἀήτῃ
πάντων Θεὸς ποιητής,
ὁμοούσιος τοκῆι
οὗ ἁγνή ἐστιν εἰκὼν,
ἐκ φάεος φόως ὢν
ἀέναου ἄναρχον
ἀρχῆς καὶ οὐκ ἐτ' οὔσης,
ἀπ' ἀφθίτου θρόνοιο
εἰς γαῖαν ἐξέπαλτο,
πεφθαρμένοισιν οἴστρῳ
δολορραφεῖ δράκοντος
θνητοῖσι γῆς ἁπάσης
λιπαυγέσιν βοηθεῖν.
Χριστῷ χάρις κλέος τε.
Ὢ θαύματος. Θεοῖο
υἱὸς βροτοῖς ὁμιλεῖ.
τὴν σάρκα γὰρ βροτείην
ἁμαρτάδος δὲ νόσφιν
ἐκ παρθένοιο σαρκὸς
ὑπεδέξατ' εἰς μίαν οὗ
ὑπόστασιν θεουδῆ.
χ' ἥνωσε θεία εἶο
φύσει βροτὴν ἀληθῶς,
εἷς ἐν τοῖς ἀλλὰ Χριστοῦ

Διχῶς φυσέων μεμυσῶν.
Χριστῷ χάρις κλέος τε.
Ἡ οὔποτ' ἐστὶ θεία
Χριστοῦ φύσις μονωτὴ
ἀνθρωπίνης ἄνευθε
ἀλλ' ἐστὶ Χριστὸς αἰεὶ
καὶ πανταχοῦ ἀληθὴς
θεός κ' ἀνὴρ ἀληθής.
Χριστῷ χάρις κλέος τε,
Νῦν πανταχοῦ τὸ εἶναι
τὸ πάντ' ἰδεῖν ἔχειν τε
πάντ' ἴδμεναι νοεῖν τε
ἀνθρωπίνης καὶ ἐστὶν
Χριστοῦ φύσεως χάριν τῆς
κοινωνίας κρατίστης
φύσεως λόγου βροτῇ σὺν.
ἐξουσίη γὰρ αὐτῇ
ἐδόθη περίπασα πάντος
ἐπ' οὐρανοῦ καὶ γῆς.
Χριστῷ χάρις κλέος τε.
Τοίνυν ἀδελφὸς ἡμῶν
ἔνσαρκος ὢν καθίζει
παρ' δεξιῇ τοκῆος
ἐὼν θεὸς καὶ ἀνὴρ
καί πάντ' ἄναξ βραβεύει
οὐ μὴ μόνον καθ' ἑὴν
θείαν φύσιν, κατ' ἀλλὰ
ἀνθρωπίνην καὶ αὐτήν.
Αὕτη χάρις θεοῖο
ἄμ' αἰθέρος χθονός τε
μείζων καί ἐς ἀρείων.
Χριστῷ χάρις κλέος τε.

Οὗτος βροτῶν σωτὴρ
πάρχει βιοφθόρ' ἄλγη
πληγὰς πυτίσμα θ' ἕλκη
καὶ μάστιγας καὶ αὐτὸν
παιάμβροτος περ οἶτον,
ὃν ἔλλαχον δόλοισι
πεφθαρμένοι δράκοντος
πρωτοπάτεροι τοκῆες
πάντεσσι σὺν τέκεσσι.
Χριστῷ χάρις κλέος τε.
Οὐ τόξ' ἔχων ξίφος τε
χαλκόν τε χερσὶ πάλλων,
οὐκ ἔγχεσ' οὐ σάκεσσι
κεκορυθμένος φονεύει
σατανᾶ μῦθον καὶ εἴτου:
ἀλλ' αὐτὸς ὡς τὸ λύτρον
βροτοπαστός τε ῥύσης
θάνατον θανὼν δαμάζει,
Χριστῷ χάρις κλέος τε.
Νῦν δειλὸν οὐκέτ' ἀνδρῶν
θνητῶν γένος δαμάσσει
φεραλγέος νόμοιο
κεραυνόγλωσσος ἠχή:
ἁμαρτάδος τὸ λύτρον
Χριστὸς φέρων ἁπάσης
ὁ ὢν ὑπαὶ νόμοιο
παῦσεν νόμου ἀπειλάς
Χριστῷ χάρις κλέος τε.
Οὐ πότμος οὐδὲ δαίμων
ἀχέροντος οὐ θύρετρα
ὅσιον χορὸν βιάσσει.
τύμβου γὰρ ἐξ ἀναστὰς

βέρε-

βέρεθρα ῥῆξεν ἄδου
ῥύσης βροτῶν καὶ αὖθις
εἰς οὐρανοὺς ἀνῆλθε,
ἀπαξάπασιν ἔθνε
ἐξουσίαν δέδεκται
σάρξ σαρκὸς ὢν ἀφ' ἡμῶν,
χριστῷ χάρις κλέος τε.
Μόρος μόρος μὴ ἡμῖν
οὔτ' ἐστὶν ἀλλ' ὄνειρος,
γλυκερώτερος τ' ὀνείρου.
Φθισιώρες γὰρ αὐτοῦ
κεκλασμένοι οἰστοὶ
μένει ἄνακτος, ἀγνὸν
μορὸν ὅς βροτῶν ἕκητι
ἁμαρτίης ἀνέτλη.
χριστῷ χάρις κλέος τε.
τύραννν' ἄποξε ἡμῖν
ἀνδρῶν βιὸν βελέμνων
δείκνεις. Δράκων κάκιστε
ἀΐδαο ἐκτὸς ἄυτως
πυρσοὺς βρέμων ἐρεύγῃ.
ὁ τοῦς καρηνοφόντης
χριστοῦ τοι ἐστὶ λοιμός
χριστῷ γόνῳ θεοῖο
χριστῷ γόνῳ τε κούρης
ἀεὶ χάρις κλέος τε.

ΤΕΛΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0017-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0018-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0019-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-493180-p0020-5

ÆAN
ESV CHRI-
ERO DEO ET
E, REDEMPTORE
NERIS HVMANI.

OSII FABRICII
Northusani.



VITEBERGAE,
Iohannis Cratonis excude-
t, Anno 1579.